## HERODOTUS, HISTORIES, 1.2

[1] οὕτω μὲν
Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι
λέγουσι Πέρσαι,

οὐκ ὡς Ἕλληνές,

καὶ τῶν ἀδικημάτων πρῶτον
τοῦτο ἄρξαι.

μετὰ δὲ ταῦτα
Ἑλλήνων τινάς
(οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι)
φασὶ
τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ⟨ναῦν⟩
ἁρπάσαι
τοῦ βασιλέος
τὴν θυγατέρα Εὐρώπην.

εἴησαν δ᾽ ἂν οὗτοι Κρῆτες.

ταῦτα μὲν δὴ
ἴσα πρὸς ἴσα
σφι γενέσθαι,

μετὰ δὲ ταῦτα
Ἕλληνας αἰτίους
τῆς δευτέρης ἀδικίης
γενέσθαι·

[2] καταπλώσαντας γὰρ
μακρῇ νηί
ἐς Αἶαν
τε τὴν Κολχίδα
καὶ ἐπὶ Φᾶσιν ποταμόν,
ἐνθεῦτεν,
διαπρηξαμένους καὶ τἄλλα
τῶν εἵνεκεν ἀπίκατο,
ἁρπάσαι
τοῦ βασιλέος
τὴν θυγατέρα Μηδείην.

[3] πέμψαντα δὲ τὸν Κόλχων
βασιλέα
ἐς τὴν Ἑλλάδα
κήρυκα
αἰτέειν τε δίκας τῆς ἁρπαγῆς
καὶ ἀπαιτέειν τὴν θυγατέρα.

τοὺς δὲ ὑποκρίνασθαι
ὡς οὐδὲ ἐκεῖνοι
Ἰοῦς τῆς Ἀργείης
ἔδοσάν σφι
δίκας τῆς ἁρπαγῆς·

οὐδὲ ὤν αὐτοὶ
⟨Μηδείης τῆς Κολχίδας⟩
δώσειν ἐκείνοισι
⟨δίκας τῆς ἁρπαγῆς⟩.

> As often in Greek, the subsequent parallel clause requires the reader to supply information present in the preceding clause.